1 Παγανοί: ἀστράτευτοι. συνέθεον δὲ γύναια τε καὶ οἱ ἐν στρατείᾳ καὶ παγανοί. x + E

2 Παγάς· Δημοσθένης ἐν Φιλιππικοῖς. ἐπίνειόν ἐστι Φεραίων. Harp.

3 Πάγας: δίκτυα, παγίδας. καὶ τοῦτο δήπου τὸ τοῦ Αἰσχύλου, τοῖς ἑαυτοῦ πτεροῖς περιπεσὼν καὶ ἐνσχεθεὶς ταῖς πάγαις ἃς ἄλλοις ὑφῆκε, τὰ ἐκ τοῦ νόμου δικαίως ἔπαθε. τεύχων ὡς ἑτέρῳ τις, ἑῷ κακὸν ἥπατι τεύχει. Σ E

4 Παγασαί: πόλις. Δ

5 Παγασιτικὸς κόλπος. Δ

6 Πάγγαιον: ὄνομα ὄρους. Δ

7 Παγῆναι: πηγῆναι. Δ

8 Παγίδι.

9 Παγκάλης: πάνυ καλῆς. Πάγκαλος δέ. Σ

10 Παγκρατιασταῖς: ἀθληταῖς, πύκταις τοῖς χερσὶ καὶ ποσὶ πυκτομαχοῦσι. Σ + x

11 Παγκράτιον: πυγμή, ἀγών, ἄθλησις. Σ

12 Παγκράτιος, σοφιστής. εἰς τὴν Μινουκιανοῦ τέχνην ὑπόμνημα. Hesy.

13 Παγκράτιος· τούτου φέρονται Ὀψαρτυτικὰ καθ' ἑκάστην τροπήν. ἤκμαζεν ἐπὶ τῶν χρόνων Λέοντος τοῦ πρεσβύτου, καὶ ἕως Ζήνωνος. Hesy.

14 Πάγκοινος λίμνη: ἡ τοῦ ᾅδου. ἀλλ' οὔτοι τόν γ' ἐξ ἀΐδα παγκοίνου λίμνας ἀνστάσεις, οὔτε γόοις οὔτε λιταῖσιν. παγκοίνου, εἰς ἣν ἅπαντας ἀφικέσθαι δεῖ. ὁ δὲ νοῦς· οὔτε ὀδυρομένη οὔτε παρακαλοῦσα τοὺς θεούς τοῦτον ἀναστήσεις. Ὁμηρικῶς· οὐ γάρ τις Soph.